2641

# ΠΡΟΣΕΥΧΗ ΣΥΝΤΑΧΘΕΙΣΑ

ΥΠΟ ΤΟΥ ΑΕΙΜΝΗΣΤΟΥ Κου

## ΙΩΑΝΝΟΥ ΙΟΡΔΑΝΟΓΛΟΥ

ΠΡΟΣ ΟΦΕΛΟΣ

ΤΗΣ ΕΝ ΣΑΛΜΑΤΟΜΒΡΟΥΚΙΟΥ

ΦΙΛΟΠΤΩΧΟΥ ΑΔΕΛΦΟΤΗΤΟΣ

## ΑΓΙΑΣ ΒΑΡΒΑΡΑΣ

# ΠΡΟΣΕΥΧΗ ΣΥΝΤΑΧΘΕΙΣΑ

ΥΠΟ ΤΟΥ ΑΕΙΜΝΗΣΤΟΥ Κου

# ΙΩΑΝΝΟΥ ΙΟΡΔΑΝΟΓΛΟΥ

ΠΡΟΣ ΟΦΕΛΟΣ

ΤΗΣ ΕΝ ΣΑΛΜΑΤΟΜΒΡΟΥΚΙΟΥ

ΦΙΛΟΠΤΩΧΟΥ ΑΔΕΛΦΟΤΗΤΟΣ

## ΑΓΙΑΣ ΒΑΡΒΑΡΑΣ

SISMANOGLIO

# ΕΥΧΗ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

***Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.***

Ελεημονήτρια τῶν Χριστιανῶν καὶ βοήθεια αὐτῶν· διὰ σὲ χαίρουσιν Ἄγγελοι, δουλεύουσιν Ἀρχάγγελοι. χαῖρε τῶν λυπημένων παρηγορία καὶ τῶν τυφλῶν βακτηρία, βοηθὸς καὶ ὑπερασπιστὴς τῶν δούλων σου, χαῖρε θρόνε ἅγιε, καθέδρα τοῦ Ὑψίστου· χαῖρε πολάτιον τερπνὸν τοῦ πάντων Βασιλέως· χαῖρε θυμιατήριον χρυσοῦν τοῦ πάντων Βασιλέως· χαῖρε Μαρία Δέσποινα χρυσοπλοκώτατε πύργε, ἡλιοστάλακτε θρόνε τοῦ Βασιλέως καὶ παναμωμητε Δέσποινα· τὸν βαστάζοντα καὶ τιμῶντα τὴν εὐχὴν ταύτην, φύλαξον ὑπὸ τὴν σκέπην σου. «Εἰς χεῖρας σου παραθήσομαι τὸ πνεῦμα μου· καὶ ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ὦ Μαρία Παρθένε καὶ παναμώμητε Δέσποινα, στύλε, καὶ ἑδραίωμα τῆς πίστεως. Χαῖρε ἄνανδρε μῆτερ καὶ ἀμώμητε Δέσποινα, ἡ βαστάσασα τὸν βαστάζοντα τὸ πᾶν τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, ἐν τῇ ἀχράντῳ καὶ ἀρυπάρῳ σου μήτρᾳ Σὺ γενοῦ βοηθὸς ὑπερασπιστὴς τοῦ δούλου καὶ φύλαξον αὐτὸν ὑπὸ τὴν σκέπην σου· χάρισε ὡς τῷ Ἰεζεκιήλ, καὶ πλήθυνον αὐτοῦ τὴν ζωὴν ἵνα ὑμνῇ καὶ δοξάζῃ Σε εἰς τοὺς αἰῶνας, ἀμήν.

SISMANOGLIO MEGARO

Ὦ Δέσποινα τῶν ἀγγέλων, καὶ Κυρία τοῦ κόσμου πλατυτέρα τῶν οὐρανῶν. Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ· ὢ Κυρία τῶν κυρίων καὶ Ἁγία τῶν Ἁγίων τιμιωτέρα τῶν Χερουβὶμ καὶ τῶν Σεραφίμ, σκέπε φύλαττε τοὺς δούλους σου· χαῖρε Στάμνε πάγχρυσε, χαῖρε Μαρία παρθένε βοήθεια τῶν ἁμαρτωλῶν καὶ ὄρος ἀλατόμητον· χαῖρε παλάτιον τερπνὸν τοῦ πάντων Βασιλέως, χαῖρε τῶν Μαρτύρων καὶ τῶν Πατριαρχῶν τὸ ἄνθος. ὦ Μαρία Παρθένε βοήθησον τὸν δοῦλον σου. Τῶν οὐρανῶν ἐσκεπάσθησαν τὰ νέφη εἰς τὸ ὄνομα τῆς Ἁγίας Τριάδος. Περίζωσέ με τῷ τιμίῳ καὶ ζωοποιῷ Σταυρῷ καὶ κίνησε τὴν ὁδόν μου. Ἅγιοι Ἄγγελοι καὶ Ἀρχάγγελοι Μιχαὴλ καὶ Γαβριὴλ καὶ ἅγιε Ἄγγελε ὁ φύλαξ τῆς ψυχῆς μου βοηθήσατε τὸν δοῦλον σας. Ἁγνὴ κόρη Πανάχραντε, Παρθένε Θεοτόκε Δέσποινα, ἡ ἐλπὶς πάντων τῶν ἀπελπισμένων, Κυρία μου ἡλιόδοξε καὶ ὑπεράγαθέ μου, ὑψηλοτέρα τῶν οὐρανῶν, ὑπερκαθαρωτέρα ἡλιακῶν μαρμαρυγῶν ἀκτίνων λαμπηδόνων· τιμιωτέρα Χερουβίμ, καὶ ἀσυγκρίτως τῶν Σεραφίμ· πάντων τῶν Προπατόρων ἡ ἐλπὶς καὶ προφητῶν δόξα, τῶν ἀποστόλων καύχημα, Ὁσίων τὸ καύχημα ἀσκητῶν ἡ δόξα τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τὸ κλέος τοῦ Ἀαρὼν καὶ Μωϋσῆ καὶ Γεδεὼν ὁ κόπος, Ἱεραρχῶν ὁμήγυρις καὶ πάντων τῶν ἁγίων, θυμιατήριον χρυσοῦν λυχνία φωτοφόρε, ἡ στάμνος ἡ βαστάσασα τοῦ οὐρανοῦ τὸ μάννα ἡ κιβωτὸς ἡ ἀληθής,

SISMANOGLIO MEGARO



ὁ θειότατος νόμος, Παντάνασσα, πανύμνητε, ἁγιώτατε Θρόνε παραμυθία πάναγνε, ἡ Βλαχέρνισσά μου καὶ ὁδηγήτρια πασῶν, ὑπεραγία Κόρη· ὦ βάτε ἀκατάφλεκτε, εὐρύχωρον χωρίον καὶ ῥάβδος ἡ βλαστήσασα τοῦ Ἀαρών· ἐκείνου ῥάβδος ἐδείχθης ἀληθὴς καὶ ἄνθος ὁ υἱός σου, ἐκ ῥίζης ἀνεβλάστησε Δαβὶδ καὶ Σολομῶντος, Χριστὸς ὁ Θεὸς ἡμῶν Δεσπότης ὁ ὕψιστος Παντοκράτων· μόνη ἐγέννησας τὸν Λόγον, πρὶν τόκου καὶ μετὰ τόκον Παρθένος· τὰς κλεῖς σου παρασάλευσε Θεὸς ὁ ποιητής μου, ὁ ἐκ νηδύος σαρκωθεὶς ἄνευ σπορᾶς, Παρθένε, καὶ κατεπλάγη Θεῷ Χριστῷ τῷ Υἱῷ σου. Σὺ βοηθὸς ἁμαρτωλῶν, καὶ τῶν ἀβοηθήτων χειμαζομένων. Σὺ λιμὴν καὶ παρηγορία κόσμου, φυλακωμένων ταχεία ἐλευθερία. Σὺ ὀρφανῶν ἀντίληψις καὶ λύτρον αἰχμαλώτων. Σὺ τῶν νοσούντων ἰατρὸς καὶ σωτηρία κόσμου. Σὺ πάντων μὲν τῶν μοναστῶν στερέωμα καὶ κοσμικῶν ἐλπίδα. Σὺ τῶν χηρῶν ὑπομονή, ἀντίληψις καὶ σκέπη. Σὺ τῶν παρθένων καύχημα, στέφανός τε καὶ τέρψις. Κόρη σεμνὴ Δέσποινα Βασίλισσα Κυρία ὑπὸ τὰς πτέρυγας σου σκέπασον, φύλαξόν με, μὴ κατ' ἐμοῦ ὁ μιαρὸς ἐχθρός μου ἐπαρθῇ. Ἐλέησόν με τὸν πτωχόν, τὸν παροργήσαντα ἐνώς ἐν ἁμαρτίαις πλείσταις τὸν ποιητήν μου καὶ Θεόν, τὸν κριτὴν καὶ πλάστην. Σὺ πάναγνε λιμὴν βοηθὸς καὶ προστάτης, καὶ ὅλος κεῖμαι Δέσποινα ὑπὸ τὴν Σὴν σκέπην, προσπίπτων Σοὶ πανύμνητε ἱκετικῶς βοῶ Σοι,

παρακαλῶ Κυρία μου μετὰ πολλῶν δακρύων, μὴ ὁ γλυκὺς μου Ἰησοῦς καὶ πάντων ὁ ζωοδότης διὰ πολλῶν ὧν ἔπραξα ἐκκόψειμε ἁμαρτιῶν. Παρακαλῶ δὲ πάναγνε ἐλθεῖν ἐν τῷ Χριστῷ μου καὶ εἰσελθεῖν ἐν ταῖς αὐλαῖς ἐκείνας τῶν δικαίων, ἔνθα οὐ ἔστι δύκρια, οὐ θλίψις, οὐδὲ λύπη, οὐ βάσανος, οὐδὲ στενοχωρία· ἀλλὰ χαρὰ ἀπλήρωτος, ἀπόλαυσις δικαίων καὶ τέρψις, ἄληκτος ζωὴ μὴ ἔχουσα ποτὲ τέλος, ἀλλὰ τρυφὴ καὶ ἀγαλλίασις, δόξα καὶ λαμπρότης, πλήρωσον τὸ στόμα μου χάριτος γλυκυτάτης φώτησόν με τὴν ψυχή, ὦ Κεχαριτωμένη, καὶ κίνησον τὰ χείλη μου καὶ γλῶσσαν τοῦ ὑμνεῖν σε μετὰ ψυχῆ; χαρμοσύνου καὶ προθύμου καρδίας τὸ ἀγγελικὸν ἐκεῖνο καὶ ὑμνῶδες μέλος ὁ Γαβριὴλ ἐφλέξατο πρὸς σὲ παρθενομήτηρ Θεοτόκε, ἀξίωσον τὸν δοῦλον σου τὸν ταπεινὸν λυτρωθεῖναι τῶν παθῶν καὶ πάσης ἁμαρτίας. Χαῖρε Δέσποινα Κεχαριτωμένη, χαῖρε μακαριωτότη ἐν γυναιξί, χαῖρε ἀστὴρ ὑπέρφωτε παρθενομῆτορ Κόρη· χαῖρε ἡ τέξασα λαμπρὸν τὸν πάντων Βασιλέα, χαῖρε Κυρία Δέσποινα ὑψηλοτέρα πάντων, χαῖρε εἰρήνη καὶ χαρὰ τοῦ κόσμου σωτηρία, χαῖρε Μαρτύρων καλλονὴ ὕμνος μοναζόντων, χαῖρε περιφανέστατε Ἱεραρχῶν ὁ κόσμος, χαῖρε τῶν ὑμνογράφων πάντων, χαῖρε λυτρωσαμένη με θανατικοῦ μεγάλου· χαῖρε ἡ ρυσομένη με σεισμοῦ φοβερωτάτου, χαῖρε τὸ περιβόλαιον καὶ περιδέξιον τῆς οἰκουμένης θαῦμα, χαῖρε τὸ ἐντρύφημα τῶν



γηγενῶν ἁπάντων, χαῖρε παράδεισε τρυφῆς καὶ ἀθανασίας, χαῖρε τὸ ξύλον τῆς ζωῆς τῆς ἄνω βασιλείας, χαῖρε τὸ τεῖχος τῶν πιστῶν καὶ σωτηρία πάντων, χαῖρε λιμὴν ὁ εὔδιος χειμαζομένων ρύστης, χαῖρε τὸ ἀκίνδυνον τῶν τεθνεώτων πάντων, χαῖρε ἁγίου Πνεύματος πηγὴ ἐσφραγισμένη, χαῖρε τὸ καύχημα ἡμῶν τῶν ταπεινῶν σου δούλων· χαῖρε τὸ ἀγαλλίαμα καὶ καὶ καταφύγιον ἁμαρτωλῶν ἁπάντων χαῖρε τὸ ἱλαστήριον τῶν καταπατουμένων· χαῖρε παρισταμένη με ἐνῶρᾳ κριτηρίου, χαῖρε ὑπερένδιξε θρόνε τοῦ ποιητοῦ μου· χαῖρε ἁγνὴ πολύφωτε ἡμέρα φωτισμοῦμου, χαῖρε ἁγνὴ ἡ δράκοντος τοῦ ἀρχεκάκου κάραν συντρίψασα καὶ εἰς ᾅδην ρίψασα τοὺς πεπλανημένους. χαῖρε δι' ἧς ἡ πολλὴ χαρὰ τοῦ κόσμου γέγονε, χαῖρε τὸ κλέος καὶ πρόξενος παντὸς ἀγαθοῦ· χαῖρε πανύμνητε ἡμῶν σκέπη καὶ προστασία, χαῖρε τὸ σκῆπτρον Δέσποινα πιστῶν τῶν βασιλέων, χαῖρε ἡ δίδουσα δύναμιν τῶν αὐτοκρατόρων· χαῖρε ἡ δόξα καὶ χαρὰ τῶν ἱερέων πάντων· χαῖρε τὸ ἀνοικτήριον τῶν πυλῶν τοῦ Παραδείσου, χαῖρε ἡ λύπην παύσασα καὶ χαρὰν χορηγοῦσα, χαῖρε Ἐδὲμ παύσασα λύπην τῶν θλιβομένων χαῖρε ἡ κλεὶς τῶν οὐρανῶν τῆς Χριστοῦ Βασιλείας, χαῖρε λιμὴν ἀκείμαστε ἐλπὶς βεβαία κόρη, χαῖρε πάντων ὁ βοηθὸς Κυρία μου Παρθένε, χαῖρε φῶς ὑπέρλαμπρον τὸ φωτίζον τὸν κόσμον χαῖρε μήτηρ τοῦ Χριστοῦ Υἱοῦ Θεοῦ τοῦ ζῶντος, χαῖρε ἡμῶν τῶν γηγενῶν σκέπη χαρὰ καὶ δόξα· χαῖρε τὸ

SISMANOGLIO MEGARO

ἔνδον φέρουσα ὀχουμένων ἐλπίδα· χαῖρε ἡ τὸν ἀχώρητον χωρήσασα ἐν μήτρᾳ, χαῖρε ἡ γαλουχήσασα Χριστὸν υἱὸν ζωοδότην, τὸν πανοικτίρμονα Θεὸν αὐτὸν τὸν πλαστουργόν μου, χαῖρε τρυφῶν ὁ γλυκασμὸς καὶ τροφεὺς τῶν ἁπάντων οἰκτίρμων φιλάνθρωπε τοῦ παντοκράτορος μου, ᾧ πρέπει δόξα καὶ τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν. Ὅλην ἀποθέμενοι ὑπὸ τὴν σκέπην σου φύλαξον σοι προσπίπτωμεν καὶ παρακαλοῦμεν οἱ ἀνάξιοι φύλαξον ἡμᾶς ἀπὸ παντὸς κακοῦ Παναγία Δέσποινα, καὶ ἀπὸ θάνατον τὸ ἐξαφνικὸν καὶ πανόλεθρον, οἴδαμεν ὅτι δύνασαι πάντα ὅσα θέλεις καὶ βούλεσαι. Δέσποινα τοῦ κόσμου, Βασίλισσα Κυρία τοῦ παντὸς χαριτωμένη ἐπάκουσον τῶν παρακαλούντων Σε. Παναγία Δέσποινα καὶ προστασία τοῦ κόσμου, Ἄγγελοι Ἀρχάγγελοι δωδεκάς, Θεοσύλεκε τοῦ Χριστοῦ Πρόδρομε Ἰωάννη ἀποστόλων Μακαρ ἀθλοφόροι τεσσαράκοντα, Στέφανε πρώταθλε Βίκτωρ καὶ Μηνᾶ καὶ Βικέντιε, Θεόδωρε, Δημήτριε καὶ ἀθλοφόρε Γεώργιε, σὺν Ἀθανασίῳ, Βασιλείῳ, Γρηγορίῳ Χρυσόστομε σὺν Νικολάῳ πρεσβεύσατο ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

---

SISMANOGLIO MEGARO



# ΕΥΧΗ ΚΑΤΑΝΥΚΤΙΚΗ

---

***Εἰς τὸν Ὑπεράγαθον καὶ Πανοικτίρμονα Θεὸν καὶ Κύριον***

Οἶδα Κύριε, ὅτι τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐστὶν διὰ παντὸς καὶ οὐδὲ δύναμαι τῇ Σῇ προβλέψαι Ἀριστότητος, ἀλλ' οἶδα καὶ σὸν ἔλεος ὑπὲρ ἄπειρον καὶ ὡς πέλαγος ἔχεις μακροθυμίαν καὶ ἄβυσσον ἀγαθότητος, καὶ παντὸς τοῦ ἀνθρώπου τὴν πονηρείαν νενίκηκας, ἀλλὰ οὐχὶ καὶ τοὺς οἰκτιρμούς σου μετάβαλλες, ἀλλὰ ἀενάως ρέοντας τῆς Σῆς φιλανθρωπίας ὀχετοὺς ἀπεξήρανα· κἂν γὰρ αἱ ἀνομίαι ἡμῶν πληνθυνθῶσιν ὑπὲρ τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ τὴν ψάμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, ὅμως, παρὰ τοσοῦτον τῆς σῆς πραότητος καὶ ἐπιεικείας, παρ' ὅσον καὶ τὰ κατορθώματα ἡμῶν ἀπολείπεται τῆς δικαιοσύνης Σου. Διὸ θαρρῶν τῷ ἐλέει σου προσέρχομαί σε μετὰ φόβου καὶ τρόμου δεόμενος, ὡς ὁ Ἄσωτος, εἴτε σοὶ ἥμαρτον ἑκουσίως ἢ ἀκουσίως, ἐν λόγοις καὶ διαλογισμοῖς γνώσει τοῦ χείρωνος καὶ ἀγνοίᾳ, ὅσα ἐν διανοίᾳ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ καὶ ἐν πάσῃ μου τῇ ἡλικίᾳ πάντα μοι συγχωρῆσαι πάντα μοι ἐξαλεῖψαι, καὶ χειτῶνά μοι ἀναθεῖναι

ἀναμαρτησίας καὶ καθαριότητος· ἥμαρτον ὁμολογῶ, ἐπλημμέλησα οὐκ ἀρνοῦμαι, τὰς σᾶς ἠθέτησα ἐντολάς, τὰ κρίματα καὶ δικαιώματα ὑπερεῖδον, ἐξακολουθοῦσα τῷ πλάνῳ καὶ ἀποστάτῃ ἐχθρῷ, ὑπετάγην τῇ σαρκὶ καὶ πάθεσιν ἐδουλώθην, ταῖς τοῦ βίου ἡδοναῖς, ἐργαστήριον γενόμενος πάσης ἀκαθαρσίας· οὐκ ἔχω τὸν χαρακτῆρα τῆς σῆς εἰκόνος καθαρὸν καὶ ἀπαραποίητον, οὐκ ἔχω τὴν σφραγῖδα ἀσάλευτον τοῦ θείου βαπτίσματος· διέφθειρα τὴν πρώτην πλάσιν καὶ δευτέραν, πάντα συνέχεια, πάντα ἐμόλυνα τοῖς καθ' ἡμέραν παραπτώμασιν, ὁμολογῶ ἐμαυτοῦ τοῦ αἰωνίου πυρὶ καὶ τῷ ἀκοιμήτῳ ἐμαυτὸν πάσης φρικτῆς τε καὶ χαλεπῆς κολάσεως· οὐ περιμένω τὴν ἀπόφασιν τῆς κρίσεως τοῦ σου Υἱοῦ, ἥτις τοὺς κατ' ἁμαρτωλοὺς εἰς γέενναν παραπέμπει, παρ' ἐμαυτοῦ κατακρίνομαι, αἱ μνῆμαι τῶν ἁμαρτημάτων σφοδραὶ καὶ παραγόγγυστοι ἔλεγχοι· οἱ δεινοὶ κατήγοροι προσφέρουσι γεγραμμένα τὰ ἔργα μου, ἀπαιτοῦσι τὰς δίκας, ἕλκουσι ἀπὸ βήματος ἐπὶ τὰς βασάνους, ὁ βοηθῶν οὐδείς, συνηγορῶν οὐδαμοῦ· τί ποιήσω λοιπὸν πρὸ τῆς ὥρας ἐκείνης καταδικαζόμενος, ἐπειδὰν τὴν τῆς κρίσεως ἡμέραν ἐξετάζομαι; παρα τίνος δικαιωθήσομαι, εἰ παρ' ἐμαυτοῦ ἐξασθενοῦμαι; τίς με συναντιλήψεται; τίς μοι ἀνακαλύψει τὰ ἀνακεκαλυμένα καὶ τὰ φῶς κείμενα καὶ βλεπόμενα ὑπὸ μυριάδων ἀγγέλων καὶ ἀνθρώπων, ὅπερ ἐν οἰκίᾳ διεπραξάμην ὁ

SISMANOGLIO MEGARO



τρισάθλιος; οὐδέν, οὐδὲν ἔστι τὸ δικαιοῦν με τὸν ἄθλιον, εἰμὴ τόσον ἔλεος, καὶ τόσον φιλάνθρωπον, καὶ τὸ παρὰ τῆς κρίσεως ἐμαυτὸν κατακρίνειν καὶ στηλιτεύειν τὰς ἐμὰς ἀνομίας καὶ ἁμαρτίας σου. Σὺ γὰρ εἰπὼν διὰ τοῦ προφήτου· λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου ἵνα δικαιωθῇς. Ἄρα γὰρ καὶ ἐμοὶ ἐξαγορεύοντι τὰς ἀνομίας μου σοὶ τῷ Κυρίῳ, ἀφείσεις τὴν ἀσέβειαν τῆς καρδίας μου, καὶ ἀθωώσεις με, ἔχων εἰς δυσωπείαν τὴν παναγίαν καὶ πανάχραντον Μητέρα τοῦ μονογενοῦς Υἱοῦ καὶ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος τῆς ἡμετέρας φύσεως ἔχω πρεσβεύτριαν. Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς ὁ Θεὸς καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *Δοξαστικὸν*

Τὴν τρισυπόστατον Θεότητα δοξάζομαι Πατέρα ἄναρχον, Υἱόν συνάναρχον καὶ Πνεῦμα Ἅγιον Τριὰς μονάδι ἡνωμένοι. Σὴ προσκυνοῦντες τῶν πταισμάτων συγχώρησιν τῆς δόξης ἠξιώθημεν ὅπως ψάλλομεν. Δόξα σοι τῷ Θεῷ ἡμῶν, ἀνάρχῳ Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα Τριὰς ὁμοούσιον ἡνωμένη ὡς μόνος Θεὸς διαιροῦμεν καὶ τὸν κτίστην κράζομεν. Δόξα τῷ τρισυποστάτῳ Θεῷ τῷ ἀδιαιρέτῳ. Δόξα τῷ Πατρὶ καὶ

τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι. Δόξα τῇ Ἁγίᾳ Θεαρχικὴ τριάδα. Δόξα τῆς τοῦ Θεοῦ παντὸς θεαρχία φύσιν. Δόξα τῷ υἱῷ γεννηθέντα. Δόξα τῷ προβλητῷ Ἁγίῳ Πνεύματι. Δόξα τῇ μιᾷ ἐν τριάδι Θεότητα. Δόξα τὸν Πατέρα ὃν Παντοδύναμον τὰ πάντα ποιήσαντα. Δόξα λόγε ζωοπάροχε τῶν ἀνθρώπων λυτρωτά. Δόξα τριὰς ἀρχήφωτε. Δόξα ἀσπόρως ἐκ θείου Πνεύματος. Δόξα τὴν τρίτην καὶ μίαν ἀρχικὴν Θεότητα φύσεως. Δόξα ἐν Θεῷ βουλήματι. Δόξα τῷ τῆς Θεϊκῆς ἐργασίας. Δόξα τὰ πάντα δημιουργητά. Δόξα τὰ πάντα ζωογονοῦντα. Δόξα τῷ μόνῳ Θεῷ τῶν ὄντων. Δόξα τριὰς μονάδι Θεότητι. Δόξα τὸν ἄναρχον ἐκ πατρὸς γεννηθέντα. Δόξα τῷ ἐκ σοῦ ἐκπληροῦντι. Δόξα τῷ δεσπόζοντι παντοδύναμον. Δόξα τῷ Κυρίῳ τῷ ἀπροσίτῳ. Δόξα τῷ μόνῳ ἀδιαιρέτῳ παντοδυνάμῳ. Δόξα τῇ σὺ δυναστίαν. Δόξα τῷ μόνῳ Θεῷ τῶν πάντων. Δόξα τῷ μόνῳ ἀθανάτῳ. Δόξα τῷ πατρὶ τῷ κτήσαντι τὰ πάντα. Δόξα τῷ κόσμῳ συνέχοντι. Δόξα πνοὴ ἐκ παντὸς Θεαρχία. Δόξα ἐν μιᾷ Θεαρχικῇ Τριάδι Δόξα τῷ πατρί μου τὸν φιλάνθρωπον. Δόξα τῷ Θεῷ μου τὸν φιλέσπλαχνον. Δόξα πατὴρ λόγε καὶ πνεῦμα ἅπαντας· καὶ τοὺς πιστοὺς δούλους σου σῶσον. ἀξίωσον τὴν βασιλείαν σου εἰς τὸν οὐρανὸν καὶ ἡμᾶς. Ἀμήν.

---

SISMANOGLIO MEGARO

SISMANOGLIO MEGARO

Çituri Biraderler Basımevi